+

# ΟΚΤΩΗΧΟΙ ΚΑΝΟΝΕΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΣΑΒΒΑΝ ΤΟΝ ΜΕΓΑΝ,
# ΤΟΝ ΗΓΙΑΣΜΕΝΟΝ
# ΚΑΙ ΚΑΘΗΓΗΤΗΝ ΤΗΣ ΕΡΗΜΟΥ



Ἀντεγράφησαν ἐκ παλαιῶν χειρογράφων τῆς Ἱερᾶς καὶ Σεβασμίας Λαύρας Αὐτοῦ καὶ προσετέθησαν εἰς μὲν τὴν γ' ᾠδὴν Κάθισμα, εἰς δὲ τὸ τέλος ἑκάστου ἤχου οἱ στίχοι

Ἅγιον Ὄρος Ἄθως
1999

www.tezaurliturgic.ro





# ΟΚΤΩΗΧΟΙ ΚΑΝΟΝΕΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΣΑΒΒΑΝ ΤΟΝ ΜΕΓΑΝ ΚΑΙ ΗΓΙΑΣΜΕΝΟΝ

* * *

## ΗΧΟΣ Α΄.

**Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχίς:**
*“Λόγον παράσχου σαῖς προσευχαῖς μοι Σάβ(β)α”.*
Ποίημα Ἰωσὴφ Σαββαΐτου.

Ὠδὴ α΄. Ὁ εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά,
θεοπρεπῶς ἐν ἰσχΰϊ δεδόξασται,
αὕτη γὰρ ἀθάνατε,
ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε,
τοῖς Ἰσραηλίταις,
ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάρια

Λόγον μοι σοφίας ἀληθοῦς,
δοθῆναι νῦν μοι μακάριε πρέσβευε,
ὕμνον τὸν σὸν πλέκοντι,
καὶ κατηφείας τῶν παθῶν ἀπάλλαξον,
καὶ τῆς ἀγνωσίας,
σκότος βαθὺ ἀποδίωξον.
Ὅλην μου τὴν ἔφεσιν πρὸς σέ,
ἀνατίθημι πάτερ γενοῦ βοηθός·
ῥῦσαι τῶν παγίδων με,

τῶν τοῦ ἐχθροῦ καὶ τῶν σκανδάλων λύτρωσαι,
τῶν τῆς ἁμαρτίας,
ὅπως ἐν πίστει δοξάζω σε.

Γεωργίαις θείων ἀρετῶν,
τὴν ψυχικὴν ἀναβλαστάνειν ἄρουραν,
μάκαρ ἐνδυνάμωσον,
σαῖς προσευχαῖς τῶν φοιτητῶν σου πάντοτε,
καὶ τῶν συμπιπτόντων,
πειρασμῶν σῷζε τὴν ποίμνην σου.

Θεοτοκίον

Ὁ φύσει Υἱὸς μονογενής,
ὁ χαρακτὴρ τοῦ Πατρὸς καὶ ἀπαύγασμα,
σοῦ τὴν παναμώμητον,
καθυποδὺς νηδὺν ἐκ σοῦ γεγέννηται,
ὅλος σὰρξ ὁ Λόγος,
γενόμενος Ἀειπάρθενε.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν,
οὐσίας τὴν ἀσθένειαν,
καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος,
περίζωσόν με ἐξ ὕψους δύναμιν,
τοῦ βοᾶν σοι· Ἅγιος,
ὁ ναὸς ὁ ἔμψυχος,
τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.

Τροπάρια

Νεκρώσας τὰ πάθη τῆς σαρκός,
τοῖς λόγοις τοῖς τοῦ Πνεύματος,
τὸν λογισμὸν σοφὲ ἀνεπτέρωσας,
πρὸς θεῖον ὕψος τῆς ἀναβάσεως,

www.tezaurliturgic.ro



εἰς τὰ θεῖα ὅσιε,
κάλλη ἐνοπτρίζεσθαι,
εἰς καλὸν τὸ ἀκρότατον ἔνδοξε.

Παθῶν ψυχικῶν καὶ μολυσμῶν,
καὶ σκότους ἁμαρτίας τε,
ἀπαλλαγὴν ὁ ἄθλιος εὕροιμι,
τὴν σὴν βοήθειαν προσκαλούμενος,
τοῦ βοᾶν σοι πάντοτε,
αἶνον χαριστήριον,
ὁ τῇ σκέπῃ τῇ σῇ φυλαττόμενος.

Ἀπέστην ἀφρόνως ἐκ Θεοῦ,
καὶ πάθεσι δεδούλωμαι,
καὶ ἡδοναῖς ὁ δείλαιος ἅγιε,
καὶ κεῖμαι πτῶμα πρὸς γῆν δυσίατον,
δίδου χεῖρα ἔνδοξε,
στῆσον ἐπὶ πόδας με,
καὶ ἐλαίῳ τῷ σῷ με κατάδησον.

Θεοτοκίον

Ῥομφαίᾳ πληγεὶς τῇ τοῦ ἐχθροῦ,
τῇ σκέπῃ σου προσέρχομαι,
Θεογεννῆτορ μόνη πανύμνητε,
ἐκλύτρωσαί με τῶν συνεχόντων με,
πολυτρόπων θλίψεων,
καὶ παθῶν τὸν τάραχον,
καταπράϋνον θεοχαρίτωτε.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Πληγεὶς ἀπὸ παιδός,
τοῦ Χριστοῦ τῇ ἀγάπῃ,
τὸν βίον μοναστῶν,
ἐξελέξω τρισμάκαρ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ἔρημον ᾤκησας,
ἔνθα ἥλιος γέγονας,
Σάββα ὅσιε,
ἐξ ἀρετῶν φωτοφόρων,
καὶ ἀνήγειρας,
θεοδηγίᾳ σὴν Λαύραν,
ἣν φύλαττε πάντοτε.

᾿Ωδὴ δ'. ῾Ο εἱρμός.

῎Ορος σε τῇ χάριτι,
τῇ θείᾳ κατάσκιον,
προβλεπτικοῖς ὁ ᾿Αββακούμ,
κατανοήσας ὀφθαλμοῖς,
ἐξ οὗ ἐξελεύσεσθαι,
τοῦ ᾿Ισραὴλ προανεφώνει τὸν ῞Αγιον,
εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τροπάρια

᾿Απείρων παθῶν με περιέχει κλυδώνιον,
ἄμετρος σάλος πειρασμῶν,
καταβαπτίζει μου τὸν νοῦν·
ἐπίνευσον ἅγιε,
χεῖρά μοι νῦν τὴν βοηθὸν Σάββα ἔκτεινον,
ὅπως ὑμνῶ σε σῳζόμενος πάντοτε.

Σύγχυσις δεινή με περιέχει πωρώσεως,
καὶ οὐκ ἐᾷ με πρὸς τὸ φῶς,
τῆς ἐπιγνώσεως ἰδεῖν,
διὸ καὶ σκότος μοι τῶν πονηρῶν νῦν ἐπεγείρεται πράξεων·
τῷ σῷ φωτί με παμμάκαρ ὁδήγησον.

Χειμών μοι δεινὸς ὁ τῶν παθῶν ἐπανίσταται,
ἀναλγησία ψυχική,
κενοδοξίας ῥιπισμοί,

ῥαθυμίας θάνατος,
φθόνος πικρὸς μνησικακία καὶ ἔρισμα·
Σάββα τὴν σὴν προσκαλοῦμαι κυβέρνησιν.

Θεοτοκίον

Οἴκτειρον Πανύμνητε Παρθένε τὸν δοῦλόν σου,
τὰς καταιγίδας τῶν παθῶν,
ἀποδιώκουσα ἀεί·
τὴν χάριν σου βράβευσον,
τῷ ἐπὶ σοὶ πᾶσαν ἐλπίδα θεμένῳ ῾Αγνή,
καὶ σὴν βοήθειαν δίδου μοι πάντοτε.

᾿Ωδὴ ε'. ῾Ο εἱρμός.

῾Ο φωτίσας τῇ ἐλλάμψει.
τῆς σῆς παρουσίας Χριστέ
καὶ φαιδρύνας τῷ Σταυρῷ σου
τοῦ κόσμου τὰ πέρατα
τὰς καρδίας φώτισον φωτί,
τῆς σῆς θεογνωσίας
τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάρια

Υἱὸς φάους χρηματίσας μακάριε,
πρέσβευε τοὺς πόθῳ σοι προσφοιτῶντας ἑκάστοτε,
σῴζεσθαι καὶ φωτὶ λαμπρύνεσθαι,
τῆς τρισηλίου Θεαρχίας,
τῶν μοναζόντων τὸ ἔρεισμα.

Σκεῦος θεῖον γεγονὼς τῆς σοφίας τοῦ Πνεύματος,
ἐν σοφίᾳ καὶ δυνάμει καὶ πίστει στερέωσον,
τοὺς εἰς σὲ καταφεύγοντας,
ἐκφεύγειν πᾶσαν τὴν κακίαν, τοῦ πονηροῦ κοσμοκράτορος.
᾿Απιστίᾳ τῇ δεινῇ κρατουμένους τοὺς δούλους σου,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς ταχείας καὶ θερμῆς τοῦ Θεοῦ ἀντιλήψεως,
σὺ τὴν πίστιν δώρησαι,
τὴν ὄρη πάτερ μεθιστῶσαν,
ἐν ταῖς εὐχαῖς καὶ δεήσεσι.

Θεοτοκίον

Μετὰ πάντων ἀσωμάτων ὅνπερ ἐσωμάτωσας,
Θεὸν Λόγον, Θεοτόκε Παρθένε ἱκέτευε,
ἐξ ἀλόγων πράξεων,
καὶ ἡδονῶν θανατηφόρων,
ἐλευθερῶσαι τοὺς δούλους σου.

᾿Ωδὴ ϛ'. ῾Ο εἱρμός.

᾿Εκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος,
οὐκ ἔστιν ὁ ῥυόμενος,
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς,
σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν·
σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τροπάρια

Πορείαν τὴν ἡμῶν Σάββα κατεύθυνον,
πρὸς τρίβον τὴν οὐράνιον,
πρὸς τὰς θείας ἀναπαύσεις ἀκλινῶς,
ἔνθα πρωτοτόκων ἡ πανήγυρις,
ἔνθα τὸ φῶς τὸ θεῖον λάμπει,
τοῦ βασιλέως Χριστοῦ.

῾Ρυόμενος ἡμᾶς Σάββα ἐπίφανον,
ἐκ πάσης περιστάσεως,
ἐκ κινδύνων καὶ δεινῶν ἐπαγωγῆς,
καὶ πάσης ὀργῆς καὶ πάσης θλίψεως,
καὶ τῆς τρυφῆς τῆς αἰωνίου, πάντας ἀξίωσον.
῾Ο ῥύστης καὶ Σωτὴρ καὶ τοῦ ἐλέους δοτήρ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



ὁ θέλων πάντας σῴζεσθαι,
καὶ κολάσως λυτροῦσθαι καὶ χαρᾶς,
τῆς αἰωνιζούσης ἀπολαύειν ἀεί,
ταῖς προσευχαῖς τοῦ θείου Σάββα,
σῷζε τὴν ποίμνην σου.

Θεοτοκίον

Παρθένε τὸν ἐκ σοῦ δι᾽ ἀγαθότητα,
τεχθῆναι εὐδοκήσαντα,
ἐκδυσώπησον ὡς πλάστην καὶ Θεόν,
σῶσαι πειρασμῶν καὶ περιστάσεων,
τοὺς ἐπὶ σοὶ τῇ Παναγίᾳ,
ἀεὶ ἐλπίζοντας.

᾿Ωδὴ ζ'. ῾Ο εἱρμός.

Σὲ νοητὴν Θεοτόκε κάμινον,
κατανοοῦμεν οἱ πιστοί·
ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς
ὁ ὑπερυψούμενος,
ὅλον με τὸν ἄνθρωπον
ἐν τῇ γαστρί σου ἀνέπλασεν,
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Τροπάρια

Αἴγλην καὶ φῶς τρισηλίου λάμψεως,
καθυπεδέξω τηλαυγῶς,
τὸν σὸν βίον φωτοειδῆ πάτερ ἐργασάμενος,
ὅθεν καὶ τοὺς ψάλλοντας,
φωταγωγεῖς προμηθέστατα,
ὁ αἰνετὸς τῶν πατέρων,
Θεὸς καὶ ὑπερένδοξος.

Ἵνα τῇ σῇ προσφοιτῶμεν ἅγιε,
σκέπῃ ἀεὶ καὶ τὴν σεπτήν,
ἀσπαζώμεθά σου σορόν,
οἱ τὴν σὴν ἀντίληψιν,
μόνην εἰς βοήθειαν,
σοὶ φοιτηταὶ πλουτοῦντες ἑκάστοτε,
σῶζε ἡμᾶς ἐκ κινδύνων,
πολλῶν καὶ περιστάσεων.

Σὲ ἀληθῶς ὁ Χριστὸς ἐκόσμησε,
χαρίσμασι παντοδαποῖς,
ἀπελαύνειν τὰ τῆς ψυχῆς,
πάθη βλαβερώτατα,
κάκωσιν ὀλέθριον,
τὰ προξενοῦντα τοῖς ψάλλουσιν·
ὁ αἰνετὸς τῶν πατέρων,
Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον

Σὲ τὴν Ἁγνὴν ἁγνῶς με ἀξίωσον,
ὑμνολογεῖν πανευσεβῶς,
τὴν θεώσασαν τοὺς βροτούς,
Ἄχραντε τῷ τόκῳ σου,
καὶ πρὸς τὴν οὐράνιον ὁδόν,
ὁδήγησον ψάλλοντα·
ὁ αἰνετὸς τῶν πατέρων,
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ἐν καμίνῳ παῖδες Ἰσραήλ,
ὡς ἐν χωνευτηρίῳ
τῷ κάλλει τῆς εὐσεβείας
καθαρώτερον χρυσοῦ
ἀπέστιλβον λέγοντες·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια

Μετανάστης πάτερ τῆς σαρκός,
ἐγένου καὶ πάνσοφος,
τῷ κρείττονι τὰ πρωτεῖα,
ἐναπονείμας καλῶς, τῷ λόγῳ χρησάμενος,
διὸ μέλπεις·
πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε,
καὶ ὑπερυψοῦτε,
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅρον ἕνα ἔκρινας σοφέ,
ὅς ἐστι διάγνωσις,
ἀγάπης τῆς ἀνωτάτω,
τὸ μηδέποτε αὐτῆς φθάσαι τὸ ἀκρότατον·
ὅθεν πόνοις πλείστοις,
προθύμως σαὐτὸν παιδοτριβήσας,
νῦν τρανῶς τοῦ πόθου,
εἰσδέχῃ τὰς ἐμφάσεις.

Ἴχνεσί σου πάτερ καὶ ἡμᾶς,
εὐόδωσον ὁδεύειν,
σαρκὸς μὲν ὑπερφρονεῖν,
καὶ γῆν τε καὶ ὕλην παρορᾶν,
ψυχὴν δὲ πρὸς ἔνθεον,
πολιτείαν ἄγειν καὶ ῥυθμίζειν,
ὡς σοφὸς ποδηγέτης,
ὅπως τῷ ποιμένι,
οἱ φοιτηταὶ συνῶμεν.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἴθυνόν με Κόρη πρὸς ζωήν,
τὴν θείαν ὡς κτωμένη,
τὴν δύναμιν τῇ θελήσει,
ἑπομένην εἰς ἀεί,
καὶ ὄρεξον χεῖρά μοι,
εὐσπλαγχνίας θείας πρὸς τρίβους,
Ἁγνὴ χειραγωγοῦσα,
ὅπως εὐχαρίστοις,
φωναῖς ὑμνολογῶ σε.

Ὠδὴ θʹ. Ὁ εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου,
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ᾽ ἡμῶν,
τῶν πειρασμῶν ἀγριαίνουσαν,
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον·
ἵνα σε Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάρια

Σῶσον ἐκ παθῶν τὴν ποίμνην σου,
ῥῦσαι ἐκ πάσης βλάβης τοῦ πολεμήτορος,
φύλαξον εὐχαῖς σου,
πρὸς Θεὸν καὶ πρεσβείαις σοφέ,
ἐκ παγίδων πολλῶν τοὺς ὑμνοῦντάς σε,
Σάββα τῶν μονοτρόπων,
ὁ χαρακτὴρ ὁ ἀκριβέστατος.

Ἄνωθεν ἡμᾶς μακάριε,
καὶ περιέποις πάτερ καὶ διασῴζοις καλῶς,
καὶ τῆς φοβερᾶς τε,
καὶ φρικτῆς ἀποφάσεως,
ταῖς πρὸς Κύριον σοῦ παρακλήσεσι,
σωθείημεν οἱ πόθῳ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σὲ ἀνυμνοῦντες ἱερώτατε.

Βόθρῳ ἀπωλείας κείμενος,
καὶ τῆς ἀγνοίας τῇ ὀμίχλῃ σκοτούμενος,
σοὶ ἐκ ῥυπαρῶν,
καὶ ἀκαθάρτων χειλέων μου,
τὴν ᾠδὴν θεοφόρε προσήγαγον·
ἀντιμισθίαν οὖν μοι αἴτει,
τὴν βασιλείαν τὴν οὐράνιον.

Θεοτοκίον

Ἄχραντε Ἁγνὴ Θεόνυμφε,
ἡ τοῦ ἡλίου τῆς δόξης λοχεύτρια,
ἡ πηγάζουσα,
τὰς δωρεὰς τοῖς αἰτοῦσί σε,
τῆς ἀγνοίας τὸ σκότος ἀπέλασον,
λάμψον μοι θείαν αἴγλην,
τοῦ φωτισμοῦ σου τῇ λαμπρότητι.

Στιχηρὰ προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ὁ ὑπερόπτης τῶν κάτω,
καὶ παρεπίδημος,
ὁ ἐραστὴς τῶν ἄνω,
καὶ ἐρημοπολίτης,
Σάββας ὁ θεόφρων πάντας ἡμᾶς,
ἑορτάσαι προτρέπεται,
τῆς πρὸς Θεὸν ἐκδημίας αὐτοῦ πιστῶς,
τὴν ἡμέραν τὴν σωτήριον.

Ἔξω σαρκὸς καὶ τοῦ κόσμου,
ταῖς ἀρεταῖς γεγονώς,
καὶ δι᾽ αὐτῶν δοξάσας,
ἐπὶ γῆς διὰ βίου,

τὸν Κύριον τῆς δόξης πάτερ σοφέ,
κατ᾽ ἀξίαν δεδόξασαι,
καὶ ἰαμάτων ἐδείχθης θεία πηγή,
παρ᾽ αὐτοῦ Σάββα θεόληπτε.

Δόξα.

Μέτριος ἄκακος πρᾷος,
ἁπλοῦς ἡσύχιος,
ὡς χρηματίσας πάτερ,
ὑπὲρ ἄνθρωπον ὄντως,
καὶ ἄϋλος ἐν ὕλῃ οἶκος Θεοῦ,
καθωράθης ἐπάξιος,
τὰς ἐξ αὐτοῦ προϊούσας σοι δωρεάς,
συμπαθῶς διαπορθμεύων ἡμῖν.

Καὶ νῦν.

Τῶν οὐρανίων ταγμάτων,
τὸ ἀγαλλίαμα,
τῶν ἐπὶ γῆς ἀνθρώπων,
κραταιὰ προστασία,
Ἄχραντε Παρθένε σῶσον ἡμᾶς,
τοὺς εἰς σὲ καταφεύγοντας,
ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν,
Θεοτόκε ἀνεθέμεθα.

Στίχοι

*Πρῶτόν σοι ἦχον, Σάββα, τοὺς Σαββαΐτας*
*Ψάλλοντας ἀξίωσον Φωτὸς τοῦ Πρώτου.*

Ἀμήν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ